κάλεσα αὐτόν. » Καὶ μαρτυρήσειεν ἂν ἡμῖν καὶ ὁ ἀσεβέστατος βασιλεὺς ἐκεῖνος, ὁ γεγονὼς μὲν ἔκδοτος τοῖς ἁμαρτήμασιν ὑπὸ τῆς γυναικός, ἐπειδὴ δὲ μόνον ἐπένθησεν καὶ σάκκον περιεβάλετο καὶ κατέγνω τῶν πλημμεληθέντων αὐτῷ, οὕτως ἐπεσπάσατο τοῦ θεοῦ τὸν ἔλεον, ὡς πάντων αὐτὸν ἀπαλλάξαι τῶν ἐπηρτημένων κακῶν. Εἶπε γάρ, φησίν, ὁ θεὸς τῷ Ἠλίᾳ· « Ἑόρακας πῶς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου, ἀνθ' ὧν [ὅτι] ἔκλαυσεν ἀπὸ προσώπου μου, οὐκ ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ. » Καὶ μετὰ τοῦτον πάλιν ὁ Μανασσῆς πάντας τῇ μανίᾳ παρελάσας καὶ τῇ τυραννίδι, καὶ τὴν νομικὴν ἀνατρέψας λατρείαν, καὶ τὸν ναὸν ἀποπλήσας τῶν εἰδώλων, καὶ τὴν πλάνην ποιήσας ἀνθεῖν, καὶ πάντων τῶν ἔμπροσθεν γενόμενος ἀσεβέστερος, ἐπειδὴ μετενόησεν ὕστερον, εἰς τοὺς τοῦ θεοῦ κατετάττετο φίλους. Εἰ δὲ εἰς τὸ μέγεθος ἀπιδὼν τῶν οἰκείων ἀνομιῶν, ἀπέγνω τὴν ἐπάνοδον καὶ τὴν μεταβολήν, πάντων ἂν ἐξέπεσεν ὧν μετὰ ταῦτα ἐπέτυχεν· νῦν δὲ ἀντὶ τῆς ὑπερβολῆς τῶν ἡμαρτημένων αὐτῷ, εἰς τὸ ἄπειρον τῆς εὐσπλαγχνίας ἰδὼν τοῦ θεοῦ καὶ τὰ δεσμὰ διαρρήξας τοῦ διαβόλου καὶ διανέστη καὶ διηγωνίσατο καὶ τὸν δρόμον ἐτέλεσε τὸν καλόν. Οὐ μόνον δὲ διὰ τῶν εἰς τούτους γεγενημένων, ἀλλὰ καὶ διὰ τῶν τοῦ προφήτου ῥημάτων ἐκκόπτει τοὺς τῆς ἀπογνώσεως λογισμοὺς ὁ θεός, οὑτωσὶ λέγων· « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ. » Τὸ δὲ σήμερον ἐν παντὶ τῷ βίῳ λέγεσθαι δυνατόν, καὶ πρὸς αὐτῷ γε, εἰ βούλει, τῷ γήρᾳ· οὐ γὰρ χρόνου ποσότητι ἀλλὰ διαθέσει

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/40 UNIVERSITÄT LEIPZIG